UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Ex epistola prima Ioannis.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431. δὲ τοῦτο διὰ τῆς ἰδίας ἐκ νεκρῶν ἀναστάσεως ὁ Χριστὸς, πῶς οὐκ ἂν εἴη θεός;

Περὶ ἧς σωτηρίας ἐξεζήτησαν, φησὶ, καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ.] ἰδοὺ δὴ πάλιν ἐν τούτοις Χριστοῦ τὸ ἅγιον εἴρηται πνεῦμα, καίτοι * θεοῦ ὄν. θεὸς οὖν ἄρα Χριστὸς, ὡς ἴδιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον.

* θεῖον

Iesus Christus per suam ex mortuis resurrectionem; qui fieri queat, vt Deus non sit?

*De qua* (inquit) *salute exquisierunt & scrutati sunt prophetæ, qui de futura in nobis gratia prophetauerunt; scrutantes in quod vel quale tempus significaret in eis spiritus Christi.* En hic rursum Spiritus sanctus qui Dei est, dicitur Christi esse. Deus igitur est, vt qui proprium habeat Spiritum sanctum. 1. Petr. c. 1. v. 10.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς β΄.

ΕΓΕΝΟΝΤΟ δὲ καὶ ψευδοπροφῆται, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι. ἠγοράσμεθα γὰρ τιμῆς, οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ.] ἐσμὲν οὖν ἄρα τοῦ πριαμένου, καίτοι θεῷ δουλεύοντες ζῶντι καὶ ἀληθινῷ. εἶτα πῶς οὐ θεὸς ὁ Χριστὸς, ὃν καὶ δεσπότην ἐπεγραψάμεθα, ζῶντά τε οἴδαμεν καὶ ἀληθινόν;

*Ex posteriori epistola Petri.*

FVERVNT *autem & pseudoprophetæ in populo, sicut & in vobis erunt magistri mendaces, qui introducent sectas perditionis, & eum qui emit eos, Dominum negant. Haud enim aliquo corruptibili precio, auro vel argento redempti sumus, sed precioso Christi sanguine.* Quare sumus eius qui redemit nos, & quidem Deo viuo & vero seruientes. Cum Christo igitur Domini titulum assignemus, ipsumque viuum & verum Dominum esse non ignoremus, cur Deum esse inficias ibimus? 2. Petr. c. 2. v. 1. 1. Petr. c. 1. v. 19.

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης.

ΚΑΙ οἴδαμεν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν μόνον καὶ ἀληθινὸν θεόν. καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος.] Ἰησοῦς Χριστὸς, οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς, ὁ ἐκ τοῦ θεοῦ πατρὸς νοεῖται λόγος· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ὠνόμασται Χριστὸς Ἰησοῦς. ὅτε τοίνυν αὐτός ἐστιν ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος, τίς τῶν ἕτερα φρονούντων ἀνέξεται;

*Ex epistola prima Ioannis.*

ET *scimus, quoniam Filius Dei venit, & dedit nobis sensum, vt cognoscamus verum Deum, & simus in vero Filio eius. Hic est verus Deus, & vita æterna.* Dei Patris Verbum, prout secundum se nude, & extra carnem consideratur, non appellatur Iesus Christus: Christi autem Iesu nomen tunc demum sortitum est, cum homo factum est. Cum ipse igitur verus sit Deus, & vita æterna, quis secus sentientes ferre queat? 1. Ioan. c. 5. v. 20.